


Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-143031-p0001-9

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-143031-p0002-4

ΜΕΤΑΦΡΑΣΙΣ ΨΑΛΜΟΥ ΠΕΝΤΗ-
κοστοῦ πρώτου ἔμμετρος, ἀπὸ Παύλου
τοῦ Δολσκίου Πλαέως.

# PSALMVS QVINQVAGESIMVS PRIMVS GRAEcis uersibus redditus à Paulo Dolscio Plauensi.

Cl 220

τῷ ἀναγνώστῃ.

Μοιχὸς καὶ ἀνδροφόνος γεγονὼς ὡς ἤσθετο θείης
αὐτοῦ ἐνεργούσης μήνιδος ἐν κραδίῃ
ὥς ῥα προσήκουσαν ποινὴν λιτάνευσε παραιτῶν
ὄσσε Ἰεσσείδης δάκρυσι δευόμενος
καὶ ἡμᾶς οὖν προπάροιθε θυρῶν τὰ θεήλατ᾽ ἔχοντας
νυνὶ κἀχ᾽ ὡσαύτως χρὴ θεὸν ἀντιβολεῖν
ἄλλως ἐκπροφυγεῖν γὰρ ὄλεθρον ἀμήχανόν ἐστι
μόρσιμον, ἡμετέρης ἆθλον ἀλιτροσύνης

ἔτει ἀπὸ χριστογονίας ᾳ φ ν β.

VVITEBERGAE.

1 5 5 2.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-143031-p0004-5

# PRÆCLARÆ SPEI PVERO IOANNI KLING CLArissimi uiri Melchioris &c. V.I. Doctoris Filio, Paulus Dolscius Plauensis. S. D.

οἱ πάλαι ἀγάκλειτοι σοφίῃ καὶ ἀριδείκετοι ἄνδρες
    οὓς ἦθ' ἡ ῥώμη ἠὲ ἡ ἑλλὰς ἔχεν
τόσσαις δυστυχίαις τόσσαις κακότησιν ὁρῶντες
    δειλῶν ἀνθρώπων τρυχόμενον βίοτον,
θυμὸν ἀτυχθέντες πολὺ θαύμασαν, ἠδὲ μάτην πρὸς
    φρεσὶ κάμον πυκιναῖς αἴτια διζόμενοι.
καὶ οἱ μὲν μοιράων ὑπ' ἀναγκαίῃσι πέδῃσι
    πρήγματα τῶν μερόπων πάντα δεδέσθαι ἔφασαν,
μηδὲ παρὲξ τι θεὸν ῥέζειν ἀγαθόν τε κακόν τε,
    ὧν ψηφισαμένων αἵδε ἔασι πάρος,
οἱ δὲ τύχης εἶπον πρὸς ἅπαντ' ἀλόγοιο φέρεσθαι
    οὐδὲ προϊσάμενον θεὸν ἔμεν τι βροτῶν,
οὕνεκα τοῖς ἀγαθοῖς μὲν κήδεα πολλά κ' ἐφῆπται
    λυγρὰ ἐν οἰζυρῷ ἔνθα καὶ ἔνθα βίῳ,
τοῖς δὲ κακοῖς ζώειν λυπέων ἀπάνευθε πάρεστι
    οὐδεμιῇ θυμὸν συμφορῇ ἀχθομένοις.
ἀλλ' ἡμεῖς τῶν ἀρχεγόνων εἰδήμονες ὄντες
    πταίσματος, οὐλομένων αἰτίου ἀμπλακιῶν,

 ῥέοντ

σεῖό τε πειθόμενοι ἀπὸ πατρὶ δέδωκεν ἄποινα
ἄρκεθ' ὑπὲρ ψυχέων χριστὲ σὲ ἡμετέρων,
ἴσμεν ὅτ' ἄρ πᾶσαι αἱ συμφοραὶ ἠδὲ ἄελλαι
ἧσισιν ὁ βρότεος κάρτα βέβριθε βίος,
ξυνῶν ἀμπλακιῶν ἐπιτίμια ξυνὰ πέλονται
πᾶσιν, ὅσ' οἰκοῦντες γῆν κατέχουσι βροτοί.
οὔτις ὁλόκληρος γὰρ παντελέως τε ἄμεμπτος
ζῇ προπάροιθε θεοῦ, κἂν δοκῇ ἐσθλὸς ἔμεν.
τοὔνεκα θαυμάζειν μηδὲν χρή, εἰ καὶ ὁρῶμεν
δυστυχέειν καὶ τοὺς φαινομένους ἀγαθούς.
ὅττι ἁμαρτωλοὶ πάντως τελέθουσι καὶ αὐτοὶ
φθαρθέντες γε νόον κἂν φρεσὶ θυμὸν ὅλον.
Ἀλλ' ἀκριβῶς σκοπέειν ἓν ἕκαστον ἔθεν τὸ φρόνημα,
ἧς τε ῥύπον σαρκὸς δεῖ καὶ μανθανέμεν
εἶτ' ἐπιγνόντα τὸ τῆς φύσεως μοχθηρὸν ἰδ' αἰσχρὸν
λίσσεσθαι χριστοῦ τῷ γενετῆρι θεῷ,
ὥς κε διαλλαχθεὶς ἡμῖν πάλιν, εἶο δὶ ἑὸν
φείσαιθ' ἡμετέρων ἰλύδος ἀμπλακιῶν
ἔκ τε καθήρειεν τῆνδ', ὡς ψαλμῳδὸς ἀρᾶτο
εὖτε περ ἠλέγχθη μαχλοσύνης ὁ Δαβίδ,
ταῖς δὲ θεὸν λιταῖς προσιὼν κατέοντα πόρ' αἰνῶς,
ἃς μεταφρασάμενος τοῖς δ' ἐνέθηκα νόμοις.
πρὸς δὲ σὲ νῦν πέμπω παρὰ νάματος Ἄλβιδος ἱροῦ
σφᾶς, ὦ κυδαλίμου εὐφυὲς υἱὲ πατρὸς.
ὅττι τεὸν γενετῆρα νόμων εὖ ἠδὲ θεμίστων
εἰδότα, κἂν βουλαῖς ἔξοχον ἔν τε λόγοις

ἦν τε

ἥντε δ᾽ ἴ εὐ δόκιμον σύνεσιν παρὰ καὶ ἀλλοδαποῖσι
  πολλοῖς τ᾽ ἄρχουσιν καὶ ἡγεμόνεσσι φίλον,
καὶ τῷ νηρίθμοις οἰκείοις τ᾽ ἀλλοτρίοις τε
  ὃν νόον ἠδὲ φρένας πράγμασιν ἀχθόμενον,
τοῖς τῶν ἑλλήνων ἡμᾶς καθ᾽ ἕκαστον ἀκούω
  γράμμασιν ἐνδυκέως κάρτα σχολαζέμεναι
καὶ ὥραις ἐν ῥηταῖς διαθήκης βιβλία καινῆς
  ὡς ἂρ κεκροπιδῶν ταῦτα τύποισι γράφη,
οἰκ᾽ ἀναγινώσκειν διάγοντα, πρὸ τοῦ ἐ τραπέζῃ
  ἐγγίζειν βρώμης ἧς μεταλήψομενον.
ὡς δ᾽ αὔτως ἀπ᾽ ἀρίστου ἐπεὶ γένετ᾽ ἠέ γε δείπνου
  ἔκ τε ἐδωδάων ἧκε πότων τε ἔρον.
ὅττ᾽ ἄρα τοῖς ἄλλοις ἢ ἀργῶς πάγχυ καθῆσθαι,
  ἠὲ φίλον παίζειν ἐστὶν ἢ οἰνοποτεῖν.
τοῦτό νυ εὐσεβίης ἐτεῆς δηλωτικὸν ἔργον,
  ἠδὲ φιλοχρίστου κάρτα νόος μελέτην,
οὐχ ἧττον τῶν λοιπάων ἀρετῶν γε ἁπασῶν
  ᾗσι κεκόσμηται θυμὸν ἔθ᾽ ἠδὲ φρένας,
δεῖν κεν ἐπαινεῖσθαι φαίην, ἐπεὶ ἔξοχος ἄλλων
  κάλλιστος τε πέλει κόσμος ἡ εὐσεβίη,
καὶ τὸ νόμῳ μελετᾶν ἐνὶ κυρίου, εἶφ᾽ ὁ Δαβίδης
  τοῦ μάκαρος διὰ πάντ᾽ ἀνέρος ἔργον ἔμεν,
τοὔνεκα καὶ εὐμαρέως τάδε τίς γ᾽ ἐμὲ πεῖσε φιλόφρων
  πρὸς σοὶ φωνῆσαι φαῦλά τ᾽ ἀπρεπόντα ἔπη,
ὥς κεν ὀτρυναίμην τούτοις σπεύδοντά περ αὐτὸν
  ἕπεσθαι γενετέω σ᾽ ἴχνεσι παιδιόθεν.

ἔντε θευδείῃ ἀρετῆς, ἧς οὐδὲν ἄμεινον
ἢ μᾶλλον σπουδῆς ἄξιον ἦκε βροτοῖς,
ἔντε λόγοις, τοῖς μὲν ῥώμης τὸ παλαιὸν ἐνοίκων
τοῖς δὲ κλυτὴν σχόντων ἑλλάδ' ἐφ' ἧ σοφίῃ,
λάμβανε οὖν παρ' ἐμοῦ ἀγνώστου περ σοὶ ἐόντος
δωτίνην μούσης τήνδε πρόθυμος ἐμῆς
καὶ φίλα μοι φρονέων μετὰ σοῦ ἔρρωσο τοκῆος
καὶ ζωὴν ὑγιὴς πᾶσαν ἄνυσον ἑῶν.

## ΨΑΛΜΟΣ ΠΕΝΤΗΚΟΣΤΟΣ πρῶτος, ἐλέησόν με ὁ θεὸς καὶ τὰ λοιπά.

ἤπιος ὡς πάντεσσι βροτοῖς μελέοισι καὶ οἱ κρατοῖς
χ' ἵλαος μετ' ἀεὶ φρεσ νοέουσιν ἔμεν.
ὡς ἐλέει χρῆσθαι, ὡς χρῆσθ' οἰκτίρμονι θυμῷ
πρὸς περιισχομένους δυσπαθίῃσι φίλους.
οὕτω δὴ κἀμοὶ τάγε λοίαθια νυνὶ μογοῦντι
νέρθεν ἁμαρτιέων ἄχθεος ἠδὲ βάρους.
οὕτω μοι δεινῶς παρὰ ἱλάσθηθι πεσόντι
ἔκ τε ἄλειψον ἐμὸν πάντ' ἀδίκημα θεός.
καὶ κόπρου ἀμπλακίας μάλ' ἐμὰς ἀπόνιζε γεμούσας
καὶ καθαρὸν κακιῶν νόσφι με ποίει ἔμεν.
εἶναι γάρ μ' ἀνόμων ἔργων ῥεκτῆρα γινώσκω
καὶ δειλῷ μοι ἐπ' ἄρ τοῖς μετὰ πολλὰ μέλει.
τοὔνεκ' ἀεὶ τοὐμὸν παράπτωμά μου ἀντίον ἐστὶ
τίκτον ἐμοὶ στοναχὰς, ἄλγεα, δάκρυ, φόβον.

ἠδὲ

ἡ δὲ κατηγορέου μου ἐοικότ' ἐν ᾅδῃ ὄλεθρον
 οὗ κόλασις πάντων καὶ τίσις ἐστὶ κακῶν.
αἲ αἲ εἰς σὲ θεὸς τάλας ἤμβροτον, οὔτε σοι οὐδὲν
 εἰμὴ ἀτασθαλιέων φόρτιον εἰμὶ γέμον.
ὢ τῆς μου τόλμης ὢ θάρσεος, ὃς σέθ' ὁρῶντος
 σοὺς παρέβην δειναῖς ἀμπλακίῃσι νόμους
καὶ τοῦτ' εὖ εἰδὼς τὸν σὸν χόλον αἴσυλον οὐδὲν
 ῥεχθὲν ὑφ' οὑτινοσοῦν εἶναι ἄτιτον ἐᾶν.
ὥστε συνείδησις πρὸς σεῖο τὸ βῆμα μ' ἐφέλκει
 μαρτυρέει τ' ἔνοχον κρίμασι σοῖσιν ἐμέν.
Ἀλλ' οὕτω βαρύ πως τόδ' ἔχει μοι πταῖσμά μου ἐμ=
 ὥς' οὐ συγγνώμης δεῖν με ὅλως ἀπορεῖν, (της
αὐτὰρ ἵν' ἐν τοῖς σοῖς σὺ λόγοισιν ἀληθινὸς ᾖσθα
 φὰς νημάρτητον γηγενέων, οὔτιν' ἔμεν,
μήτε δικαιοσύνης τις ἑῆς οἰήσει ἐπαρθείς,
 εἶν οἱ ἀνέγκλητος παντελέως κε δοκῇ.
μήτ' ἀδίκως κρίνων κρίνησε, ὅτ' ἄρκιον οὐδὲν
 σοί, βροτέων ἔργων ὅσα κῇ, εἶναι ἐᾶς.
πολλοὶ γὰρ μέγ' ἐπὶ σφετέραις ἀρετῇσι φρονοῦντες
 ἀφραδίαις τυφλῶν ἀμπλακίαις τε φρενῶν
αἰτῆσαί σε καθὼς κείνων ἀντάξιον ἆθλον
 τολμῶσιν μετοχὴν οὐρανίοιο βίου.
Αὐτὰρ ἔγωγε κακὸς κ' ἄντικρυς ἀτάσθαλος εἶναι
 φημί, καὶ ἀϊδίου ἀξιόω με μόρου
μήτε νόμαια σέθεν ποτὲ πεπληρωκέν' ἐμὲ οἶδα
 παιδιόθεν μέχρι δὴ τοῦδε χρόνοιο ῥοπῆς.

Ἠνίδε γὰρ πρῶτόν με πατρὸς μου τεκνογονοῦντος
σπέρμ' εἰς τὴν μήτραν φαῦλον ἐσῆλθον ἐών
καὶ ῥυπαρόν με μίασμα φίλη συνελήψατο μήτηρ
κὰμ νοσερὸν νοσερῆ βάσασεγαστρὶ γόνον.
Ἠνίδε γὰρ δεικνῦν σοι καὶ καταθύμιόν ἐστι
ἣν κρύφιόν περ ἐρεῖ τις τὸν ἐόντα λόγον.
γνοὺς ἐ δικαιοσύνης τεὴν ὑστερέεσθαι ἀδύσκης
καὶ κακὸν ἐκ γενετῆς πάγχυ τετύχθαι ἐμῆς.
οὐδ' ἀγλαὸν τέρπει καλόν τε σχῆμά σε ἔξω,
ἀλλὰ ταπεινόφρον κῆρ στονόεντε φιλεῖς.
ταύτην γὰρ πινυτὴν ἔμαθον πρὸς σεῖο διδαχθεὶς,
ἥπερ ἑκὰς σοφίη κόσμου ἄπεστιν ὅλου.
ἔνδ' καὶ ἐπισταμένως μυστήρια σοῖο λόγοιο
σῆς τε σέλας διδαχῆς καὶ φάος ἴδμεν ἅπαν
ἴδμεν ἐπαγγελίας σὰς τοῖς προγόνοισι δοθείσας
καὶ προσερείσασθαι πίστει ταῖσδε νόον.
ῥάντισον ὑσσώπου βαφθεῖσί με αἵματι φύλλοις
σοῦ θεὸς ἀμνοῦ ἅπαν κόσμου ἀροῦντος ἄγος.
ὅππως νῦν ἀκάθαρτος ἐὼν καθαρός κε γενοίμην
μηδεμίαν τε φέροι μοι τι μόλυσμα βλάβην,
πάντ' ἀπ' ἐμοῦ νίψον τὸ ῥύπος, φαίδρυνέ τε πάγχυ
τοὐμὸν ἀποπλύνας σοῖς λοετροῖσι δέμας
ὄφρα μοι ᾖ χιόνος λευκῆς πολὺ κάλλος ἄμεινον
αἰθερίαισι τ' αἴγλαις εἴκελον εἶδος ἐόν,
δός τε εὐφροσύνην μ' οἴσοντ' ἐπάϊστα γενέσθαι
ξυνοίης φρένας σήματα δῆλα τεῆς.

ὥσ τὰ

ὡς τὰ καπακλασθέντα, τεῆς δμηθέντα θ' ὑπ' ὀργῆς
    ὀστέ' ἀναζήσῃ καὶ σθένος αὖτε λάβῃ
ὥσθ' ὑγιὲς νοσερῶς πρὶν ἐὸν μου σῶμα γένηται
    ἔκ τε ἐμῶν μελέων πηλὸς ἅπας προφύγῃ
τηλόθ' ἁμαρτιέων ὧν τῶν δ' ἔχε σὸν τὸ πρόσωπον
    ὧν ἀπ' ἐμῆς στρέψαι ἰ λύδος ὥστε θεός.
πάντα βλέπον τὸ βλέμμα σέθεν μὴ βλέψαι ἕκαστον
    ταῦθ', ἅ σοι ἢν βλέψῃς μέλλει ἀπεχθέ', ἔμεν.
σβέσον ἀτασθαλίας πάσας καὶ πᾶν τὸ βέβηλον
    οἰκοῦν τοῦ στήθους ἐντὸς ἐμοῖο πάθος.
κῆρ ἄκακον κὴρ ἄχραντον κῆρ καλὸν ἠδ' ἐσθλὸν
    κῆρ ἐν ἐμοὶ δυνατὸν κτίζε δίκαια φρονεῖν.
καὶ τοῖς μου σπλάγχνοις ἀνάπνευμα νέου τε πρόθυμον
    καὶ εὐθύ, ἐμῆς ψυχῆς ἡγεμόν' ἐσσόμενον.
ὄφρα γ' ἀκινήτως χάριτος σῆς ἀντιέχωμαι
    ἀστρέπτῳ ταύτης πίστει ἁψάμενος.
μή κεν ὁ δεινότατος πλανῆσαι ὁ κοίρανος ᾅδου
    εἰς πλάνην τιν' ὅτῳ δή με σοφίσματ' ἄγοι.
μή με τεῆς πρόσω ῥίψον δύστηνον ὀπωπῆς
    συγνὸν ταρταρέης εἰς τὸ βάραθρον ἕδρης.
μήτ' ἀπ' ἐμοῦ προφυγεῖν βαρυπῆ πλαίσαντος ἀλι-
    πνεῦμα σέθ' ἢ δυνάμει πάντα ἁγιαζόμενα. (τροῦ
δὸς δ' ἀνά μοι κτᾶσθαι σωθέντα ὑπὸ γήθεα σεῖο
    ἔκ τε φρενῶν μυχάτου τάρβεα πάντα βαλεῖν.
μήτε τι δυσθυμεῖν ἐν θλίψεσιν ἢ ἐν διωγμοῖς,
    μήτ' ἀέκοντα παθεῖν ἄλλα παθεῖν σὺ κέλῃ.

ἀλλὰ πρόθυμον ἐμὴν κραδίαν πάντα τὰ δεῖνα περῆσαι
στῆθ' ὑπακούσασθαι πάντοτ' ἐφημοσύνῃ,
οὐδ' εὐεργεσιῶν τῶν σῶν ἀμνήμονα μ' εἶναι
ἀλλὰ χάριν μεγάλην τῶνδέ σοι ὄψει ἰδεῖν.
καὶ γὰρ σὴν διδαχὴν ἄλλοις ἐκθήσομ' ἀλιτροῖς
καὶ γὰρ τοῖς ἀνόμοις σὰς φανερώσομ' ὁδοὺς.
ὄφρα ὑπερβασίας σφετέρας νοέωσι καὶ αὐτοί,
καὶ θρηνῶσιν ὅλως μηδὲν ἀθῶον ἔχειν.
εἶτα τεῶν λογίων σωτήρια ῥήματα γνόντες
πρὸς σὲ ἐπιστρέψαι σφῶν μεμάωσι βίον.
οὕτω σὸν κῦδος, κλέος, οὔνομα, δόξα προκόψαι
ἤδ' ἐπὶ τὸ πλεῖον μέλλει ἂν ἤμας ἴμεν.
ὦ μέθεε αἰνὰ θεός μοι αἰωνίου αἴτια ποινῆς
ὅσπερ ἐμὸς σωτὴρ καὶ θεὸς ἐσσὶ μόνος,
τήν τε ἐμὴν ψυχὴν φονικῆς ἀπόλυσον ὀφειλῆς
μὴ δέον ἢ κείνην εἵνεκα τῆσδε θανεῖν,
ἐν θανάτῳ τε μένειν καὶ τῶν ἀσέβησεν ἐπαυρεῖν.
καὶ στυγερὴν τίειν ἤματα πάντα δίκην,
αὐτὰρ ἵνα ζώω, καὶ μου ζώοντος ἀείδῃ
γλῶσσα δικαιοσύνην ἔνθα καὶ ἔνθα τεήν.
τοὔνεκ' ἄρ' ἀμφοτέρω σὺ ἐμοὶ τὼ χεῖλε ἀνοίξαις
καλλοσύνην τ' ἐπέων εὐφραδίην τε πόροις,
ὄφρα τεὴν δόξαν στόμ' ἐμὸν κηρῦσσον ἀέξῃ
τῇσι θεοπνεύστων ἀγγελίῃσι λόγων.
οὕτω γὰρ ῥέξειν με ἀρεστά σοι ἱρὰ δύνασθαι
καὶ τελετὰς δεκτὰς οἶδα μάλιστα τελεῖν.

θυμά

θύμασ' ἐπεὶ βωμοῦ βεβαρημένου αἱμοφορυκτοῖς
μήτε τεῒν φροντὶς μήτε τις ἐστὶ λόγος.
εἰ γὰρ ἔην, εἰ βοῦν εἰ μῆλ' εἰ ἔμπνοον ἄλλο
ἤθελες, εἰς δῶρ' ἂν καὶ τόδ' ἑτοῖμος ἔην.
νυνὶ δὲ τοιούτων μηδ' ἕν τι πέφυκέ σε τέρπειν.
ἀλλ' ὡς θῦμα φίλον πνεῦμα τάλαν δέχεαι
πνεῦμα πιεζόμενον, πνεῦμα στενόν, ἠδὲ κατηφὲς
μεστὸν λυπάων ἔνδον ἑαυτοῦ ἐόν.
πρὸς τῷ δ' ἀχνύμενον μάλα θλίψεσιν οὐδέ τιν' ἰσχὺν
ἢ σθένος ἠὲ μένος καὶ ὑπόλοιπον ἔχον.
καὶ στοναχὰς ἀφιὲν καὶ κρυβδὴν δάκρυα λεῖβον
ἡδομένου σοῦ ἔφυ πλησίον, ἰθὺς ἴμεν.
τοῦ σὺ καταφρονέειν οὐ μέλλεις οὔτ' ὀλιγωρεῖν
ἀλλὰ πεποιθῆσάν σοι τὰ μάλιστα φιλεῖν.
τοιοῦτον κἀγώ σοι πνεῦμά τε κῆρ τε τεθυκώς.
ἵλαον σ' ἕξειν κάρτα πέποιθα θεός.
ἓν δ' ἔτι σοῦ δέομαι τό σύ μοι τρόπον οὔτιν' ἀπείποις
σῆς ἀλίης ἐφ' ὅλης τῆς χθονὸς ἴσθι φύλαξ
ἐμπεδόων ἁγίης ὑψηλὰ κάρηνα Σιῶνος
ἧς πάρ ἀεὶ χρησμοῖς ἔξοδός ἐστι τεοῖς
καὶ τείχει κοσμῶν ἱερὴν πόλιν ἄλλῳ ἐπ' ἄλλῳ
ὄφρ' ἀδεὴς οὕτως ἠδ' ἀνάλωτος ἔῃ
συχνά τε ἀσφαλέως ἄστων μιν πλήθεα ναίῃ
σεῖ' ὑμνεῖον τῶν ἤματα πάντα κλέος.
δὴ τότε τηλεδαπῶν σοι ἅπαντα κατ' ἔθνεα λαῶν
δῶρα δικαιοσύνης οἴσει ἕκαστος ἔης,

τοιοῖς

τοίοις καιομένοις συνέπαινος ἂρ ἔσεαι ἴσοις
τοιούτου δέξῃ τετράποδός σὺ κρέας.

τέλος.

IMPRESSVM VVITEBERGAE PER
VITVM CREVTZER.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-143031-p0015-6

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-143031-p0016-2

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-143031-p0017-7

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-143031-p0018-3

Cd 320 a

ULB Halle 3
002 163 179

56. f

Constat xj gl iij d.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-143031-p0019-2

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-143031-p0020-4

10.

10

# ΜΕΤΑΦΡΑΣΙΣ ΨΑΛΜΟΥ ΠΕΝΤΗ-
κοστοῦ πρώτου ἔμμετρος, ἀπὸ Παύλου
τοῦ Δολσκίου Πλαέως.

# PSALMVS QVINQVA-
GESIMVS PRIMVS GRAE-
cis uersibus redditus à Paulo Dol-
scio Plauensi.

Cl 220

τῷ ἀναγνώστῃ.

Μοιχὸς καὶ ἀνδροφόνος γεγονὼς ὡς ᾔσθετο δεινῆς
αὐτοῦ ἐνεργούσης μήνιδος ἐν κραδίῃ
ὧς ῥα προσήκουσαν ποινὴν λιτάνευσε παραιτῶν
ὄσσε Ἰεσσείδης δάκρυσι δευόμενος
καὶ ἡμᾶς οὖν προπάροιθε θυρῶν τὰ θεήλατ' ἔχοντας
νυνὶ κἀχ ὡσαύτως χρὴ θεὸν ἀντιβολεῖν
ἄλλως ἐκπροφυγεῖν γὰρ ὄλεθρον ἀμήχανόν ἐστι
μόρσιμον, ἡμετέρης ἆθλον ἀλιτροσύνης

ἔτει ἀπὸ χριστογονίας α φ ν β.

VVITEBERGAE.

1 5 5 2.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-143031-p0021-0